Tyrannides verò ſeruãtur duobus modis inter ſe contrariiſſimis. Quorum alter eſt is, quem per ſucceſſionem traditum plurimi tyrannorum obſeruant. Horum autem multa conſtituiſſe ferunt Periandrum Corinthium. multa etiam ex gubernatione Perſarum eſt aſſumere. Sunt autem hæc, illa pernicioſa, quæ ſuprà retulimus omni conatu à tyrannis fieri, quòd dominationem retineant, veluti potẽtiores decerpere, & ſapientes perimere. Et neque comeſſationes permittere, neque ſodalitates, neque diſciplinam, neque aliud quicquã tale, ſed omnia cauere, vnde conſueuerit oriri inter ciues intelligentia, & fides. Et neque ſcholas, neque conuentus aliquos ſcholaſticos fieri concedere: & omnia facere, ex quibus ciues inter ſe quàm maximè incogniti ſint: cognitio enim fidem generat inter ipſos. Et ſatellites eius apparêre ſemper, ac verſari foris, quominus latere poſſit quid quiſque agat, aſſueſcántq. animum ſubmittere per ſeruitutem continuam. & alia quæcunque talia Perſica & Barbarica, tyrannidis ſunt. cuncta enim idem poſſunt. Et ne lateant conari, quæcunque quis dixerit aut fecerit, ſed eſſe exploratores. quemadmodum Syracuſis hi qui traductores nuncupabãtur, & auricularij, quos ſubmittebat Hieron, vbicunq. foret congregatio aliqua vel conuerſatio. minus enim audent qui hæc timent, & ſi audeant minus latere poſſunt. Calumniari quoq. inuicem, & cõmittere amicos cum amicis, & plebẽ cum nobilitate, & diuites inter ſeipſos, & ſubditos ad paupertatem redigere, tyrannicæ eſt prauitatis. vt neq. ſumptus fiat in cuſtodia, & illi quotidianis moleſtiis occupati vacare non poſſint ad conſilia contra tyrannos ineunda. Exemplum huius ſunt pyramides Ægypti, & donaria Cypſelidarum & olympi ædificatio à Piſiſtratidis facta, & Polycratis opera circa Samum. Hæc enim omnia fuerunt inſtituta ad otium, ad quietem populorum tollendam, & ad inducendam paupertatẽ per tributorum penſionem: vt etiam Syracuſis factum eſt. Dionyſio enim eã ciuitatem tenẽte, cõtigit Syracuſanos in quinque annorum tempore cunctas facultates ſuas in ſoluendis tributis cõſumpſiſſe. Studet etiam bellum concitare tyrannus, vt negotiis occupentur ciues, & indigentia ducis continuò detineantur. Et regnum quidem per amicos ſeruatur: tyranni autem eſt maximè amicis diffidere,

A αἱ δὲ τυραννίδες σώζονται κατὰ δύο τρόπους τοὺς ἐναντιωτάτους· ὧν ἅτερός ἐστιν ὁ παραδεδομένος, καὶ καθ' ὃν διοικοῦσιν οἱ πλεῖστοι τῶν τυράννων τὴν ἀρχήν. τούτων δὲ τὰ πολλά φασι καταστῆσαι Περίανδρον τὸν Κορίνθιον. πολλὰ δὲ καὶ παρὰ τῆς τῶν Περσῶν ἀρχῆς ἐστι τοιαῦτα λαβεῖν. ἔστι δὲ τά τε πάλαι λεχθέντα πρὸς σωτηρίαν, ὡς οἷόν τε, τῆς τυραννίδος, τὸ τοὺς ὑπερέχοντας κολούειν, καὶ τοὺς φρονηματίας

B ἀναιρεῖν· καὶ μήτε συσσίτια ἐᾶν, μήτε ἑταιρείαν, μήτε παιδείαν, μήτε ἄλλο μηδὲν τοιοῦτον· ἀλλὰ [πάντα] φυλάττειν ὅθεν εἴωθε γίνεσθαι δύο, φρόνημά τε καὶ πίστις· καὶ μήτε σχολάς, μήτε ἄλλους συλλόγους ἐπιτρέπειν γίνεσθαι σχολαστικούς, καὶ πάντα ποιεῖν ἐξ ὧν ὅτι μάλιστα ἀγνῶτες ἀλλήλοις ἔσονται πάντες· ἡ

C γὰρ γνῶσις πίστιν ποιεῖ μᾶλλον πρὸς ἀλλήλους. καὶ τὸ τοὺς ἐπιδημοῦντας ἀεὶ φανεροὺς εἶναι, καὶ διατρίβειν περὶ θύρας· οὕτω γὰρ ἂν ἥκιστα λανθάνοιεν τί πράττουσι· καὶ φρονεῖν ἂν ἐθίζοιντο μικρόν, ἀεὶ δουλεύοντες. καὶ τἄλλα ὅσα τοιαῦτα Περσικὰ καὶ βάρβαρα, τυραννικά ἐστι· πάντα γὰρ ταὐτὸν δύναται. καὶ τὸ μὴ

D λανθάνειν πειρᾶσθαι, ὅσα τυγχάνει τις λέγων ἢ πράττων τῶν ἀρχομένων, ἀλλ' εἶναι κατασκόπους· οἷον, περὶ Συρακούσας αἱ ποταγωγίδες καλούμεναι· καὶ τοὺς ὠτακουστὰς ἐξέπεμπεν Ἱέρων, ὅπου τις εἴη συνουσία καὶ σύλλογος. παρρησιάζονταί τε γὰρ ἧττον, φοβούμενοι τοὺς τοιούτους· κἂν παρρησιάζωνται, λανθάνουσιν ἧττον. καὶ τὸ διαβάλλειν ἀλλήλοις καὶ συγκρούειν, καὶ φίλους φίλοις, καὶ τὸν δῆμον τοῖς γνω-

E ρίμοις, καὶ τοὺς πλουσίους ἑαυτοῖς, καὶ τὸ πένητας ποιεῖν τοὺς ἀρχομένους, τυραννικόν, ὅπως μήτε φυλακὴ τρέφηται, καὶ πρὸς τῷ καθ' ἡμέραν ὄντες, ἄσχολοι ὦσιν ἐπιβουλεύειν. παράδειγμα δὲ τούτου αἵ τε πυραμίδες αἱ περὶ Αἴγυπτον, καὶ τὰ ἀναθήματα τῶν Κυψελιδῶν, καὶ τοῦ Ὀλυμπίου ἡ οἰκοδόμησις ὑπὸ τῶν Πεισιστρατιδῶν, καὶ τῶν περὶ Σάμον ἔργα Πολυ-

F κράτεια· πάντα γὰρ ταῦτα δύναται ταὐτόν, ἀσχολίαν καὶ πενίαν τῶν ἀρχομένων. καὶ ἡ εἰσφορὰ τῶν τελῶν· οἷον ἐν Συρακούσαις· ἐν πέντε γὰρ ἔτεσιν, ἐπὶ Διονυσίου τὴν οὐσίαν ἅπασαν εἰσενηνοχέναι συνέβαινεν. ἔστι δὲ καὶ πολεμοποιὸς ὁ τύραννος, ὅπως ἄσχολοί τε ὦσι, καὶ ἡγεμόνος ἐν χρείᾳ διατελῶσιν ὄντες. καὶ ἡ μὲν βασιλεία σώζεται διὰ τῶν φίλων· τυραννικὸν δὲ τὸ μάλιστ' ἀπιστεῖν τοῖς φίλοις, ὡς βου-